ἀνδρειωμένα πρακτικὰ σπουδαῖ᾿ ὠχυρωμένα·
εἴ τις δειλιάσῃ, νὰ στραφῇ ἢ ὀπίσω νὰ γυρίσῃ,
ἐὰν ἦτον βασιλεῶς υἱὸς, ᾿ς πάλον τὸν θέλω κάτσει.
κ᾿ εἴ τις ἐξέβη πρόθυμος νὰ πράξῃ ἀνδρειωμένα,
τιμὴν ἀξιὰν καὶ πλουτισμὸν ἐκεῖνον νὰ ποιήσω,
κι ὥσπερ ἐμὸν ἐγνήσιον νὰ τὸν ποθῇ ἡ ψυχή μου.
διὰ τοῦτο καὶ τὰ κάτεργα ᾿κάψα κι ἀφάνισά τα,

153 ἐ om in initio versus νησὴν 154 fortasse fuerit ἀντίσικοι vel ἀντίσηκοι 157 τὸν om 159 ποίσεται 160 καὶ ἤτις οὐ ποιήσει pro κι ἀντιτείνει possis παρὰ 162 σημώνουν (non σηκόνουν) κάτεργα. 166 ἤδασιν 175 βλέπεται θεωρεῖται 177 πολεμεῖται 178 σπουδαῖα 179 εἰδέ τις διλιάσει 180 στὸν πάλον. possis etiam ᾿ς τὸν πάλον τὸν θὰ κάτσω κάτζη 181 καὶ ἤτις 184 ἔκαψα καὶ ἐφάνησά τα

ἢ νὰ δουλώσωμεν ἡμεῖς ὅλην τὴν Ἐγγλητέραν,
ἢ νὰ χαθοῦμεν ἅπαντες, τινὰς μὴ ἐγλυτώσῃ."
καὶ εἰς ἀπὸ τοὺς ἄρχοντας, ἐκ τῆς ἀρμάδας λέγω,
τὸν Βελισάριον ἔλεγεν μετὰ τόλμης μεγάλης
„οὐκ ἔπραξες στρατιωτικά, τὰ κάτεργα νὰ κάψῃς."
κι ὁ μέγας Βελισάριος ὡς ἤκουσ', ἐθυμώθη·
εὐθὺς ὁρίζει κ' ἔκαψάν τον 'πάνω εἰς τὸν πάλον.
τρέμουσιν γοῦν οἱ ἕτεροι τὸν μέγαν Βελισάρην.
ἔδραξαν κάστρη καὶ λαὸν ἐκ τὸ νησὶν ἐκεῖνον,
ὅλον τριγύρου τὸ νησὶν ἔποικεν ἐδικόν του,
τὸ κάστρον τὸ καθολικὸν οὐκ ἠμπορεῖ ἐπάρει,
μέγαν θρασὺν καὶ δυνατὸν καὶ ἀφηρὸν ὑπάρχει·
μέγαν κακὸν ἐποίησεν κάστρον τῆς Ἐγγλητέρας,
ἔπεσαν ἄρχοντες τρανοὶ (Ῥωμαῖοι) ἀνδρειωμένοι,
εὐγενικὰ ἀρχοντόπουλα, ὁποῦ ἐφιλοτιμοῦσαν.
πολὺν κακὸν ἐπάθασιν ἡ μιὰ μερεὰ κ' ἡ ἄλλη·
μὰ τὴν ἀλήθειαν τὴν καλήν, ψέμαν οὐδὲν τὸ λέγω,
ἂν εἶχαν ἔχει κάτεργα νὰ 'σέβουν, νὰ γλυτώσουν,
καὶ νὰ θαῤῥοῦν 'ς τὰ κάτεργα νὰ 'σέβουν καὶ στραφοῦσιν,
στραφῆν ἤθελαν ἄπρακτοι καὶ μ' ἐντροπὴν μεγάλην·
οὔτε νὰ φύγουν εἴχασιν, μέλλουσιν ν' ἀποθάνουν.
βάνουν καὶ στερεόνουνται καὶ πόλεμον κτυποῦσιν·
ὥσπερ θηριὰ ἀνήμερα, οὕτως ἐπολεμίζαν.
πλῆθος ἀνδρῶν ἀπέθαναν κι ἀπαὶ τὰ δύο μέρη,
χωρὶς γὰρ σκῆπτρον πενιχρὸν ἐκ τοὺς πτωχοὺς ἀνθρώπους
οὔτε 'Ασάναι ἦτασιν οὔτε Παλαιολόγοι.
ποιοῦσιν σκάλαις ξύλιναις, πηδοῦσιν εἰς τὸ κάστρον.
ὁ πρῶτος ὁποῦ ἐσέβηκεν κάστρον τῆς Ἐγγλητέρας
τὸ ὄνομά του 'Αλέξιος κι ὁ ἄλλος Πετραλήφης,
ἀπὸ μικρή τε γενεὰ ἦτον, δημοτυχῖται.
κ' ἐκ τὰ πολλὰ λαβώματα τὰ εἴχασιν ἐκεῖνοι

---

185 ἵνα 186 ἥνα 190 καὶ ὁ β. ὡς ἤκουσεν μεγάλως ἐθυμώθη 191 καὶ ἐκάτζαν 193 sq. νησὴν 196 θρασὴν ἀφηρὸν nolui corrigere: ἄπειρον Coestlinus ad quod conferas v. 239, ἀψηλόν Bursianus (quod pro ὑψηλόν poni probari potest) 198 Ῥωμαῖοι addidi 200 πολὴν 204 με ἐντροπὴν 207 οὗτος versus 209 et 210 aut spurios aut falso loco positos aut locum lacunosum esse censeo. ceterum in proecdosi χωρὶς γὰρ σκήπτρων πενιχροὶ κ' ἐκ conieceram 210 ἀσάνη 211 ποιδοῦσιν 212 ἐκλητέρας 214 δημότυχοί τε ci Coestlinus

οἱ δύο ὁμομήτριοι, ἄνδρες ἀνδρειωμένοι,
ἐπῆραν κ' ἐπαράλαβαν τὸ κάστρον κ' ἐχάρηκαν.
χαρὰν μεγάλην ἔκαμαν μικροί τε καὶ μεγάλοι.
ὁρίζει ὁ Βελισάριος ὁ φρόνιμος ὁ μέγας
νὰ φέρουσιν τοὺς δύ' ἀδελφοὺς, Ἀλέξιν καὶ Πατραλήφην,
ἐκεῖνοι ὁποῦ ἐσέβησαν ἀπέσω εἰς τὸ κάστρο,
ἐκεῖνοι ὁποῦ ἐστήσασιν τὸ φλάμπουρον 'ς τὸν πύργον,
ἐκεῖνοι ὁποῦ ἐτίμησαν κ' ἐδόξασαν τοὺς πάντας.
ὁρίζει κ' ἐκαθίσαν τους εἰς δυὸ φαριὰ μεγάλα,
μὲ σέλλαις χρυσιοτζάπωταις, μ' ἄλογ' ἐξηρημένα.
ὅλον τὸ κάστρον σύρνουν τους καὶ εὐφημίζουσίν τους.
πλοῦτον πολὺν συνάγουσιν ἀμέτρητον καὶ μέγαν·
ὕστερον πάντων φέρνουν τους ὀμπρὸς 'ς τὸν Βελισάρην·
κ' ἐβγάνει ὁ Βελισάριος ροῦχα τετιμημένα,
μετὰ μαργαροζάφυρον ἡ τραχηλιαῖς κ' οἱ γῦροι,
ἀτός του τοὺς ἐφόρεσεν ὁ μέγας Βελισάρης·
πλοῦτον πολὺν τοὺς ἔδωκέν, ἀμέτρητον λογάριν·
τιμᾷ καὶ ἀξιόνει τους, αὐθέντας τοὺς ἐποῖκεν.
ὁρίζει ὁ Βελισάριος εἰς ὅλα τὰ καστέλλια,
νὰ ποίσουν κάτεργ' ἑκατὸν κι ὅσαις γαλιώταις ἦσαν,
νὰ πληρωθοῦν, νὰ πλεύσουσιν μόνον εἰς δύο μῆνας.
τί τὰ λοιπὰ πολυλογῶ; πληρόνεται ἡ ἀρμάδα·
ἐπλεύσασιν τὰ κάτεργα καὶ ἀρματώσασίν τα
μὲ κέρδος μέγαν ἄπειρον, μ' αἰχμαλωσιὰν μεγάλην.
ἐμάζωξαν κ' ἐπήρασιν ἄρχοντας κεφαλάδες.
τὸν ῥῆγαν τὸν ἐξάκουστον 'ς τὰ κάτεργα τὸν βάνουν,
τοὺς δυνατοὺς τοὺς ἄρχοντας, τοὺς πρώτους τοὺς αὐθέντας
'ς τὰ κάτεργα τοὺς ἔβαλαν δεμένους ἐκ τραχήλου.
ὁρίζει ὁ Βελισάριος· ἄρχοντας ἐδικούς του
εἰς φρόνεσιν, εἰς αἴσθησιν βάνει 'ς τὴν Ἐγγλητέραν,
νὰ προμηθεύωνται καλῶς τὴν σύστασιν τοῦ τόπου,
καὶ νὰ κρατοῦν τὸ δίκαιον, τινὰς μὴ ἀδικῆται.
αὐτὸς κινᾷ κ' ἐμίσευσεν κ' ὑπάγει τὴν ὁδόν του.
ἐμίσευσαν τὰ κάτεργα μὲ παῤῥησιὰν μεγάλην,

216 δύο ἀδελφοὶ ὁμ. 220 δύο 221 κάστρω 222 ἀπάνω εἰς τὸν πύργον 225 με ἄλλογα 226 σύρνουν τον 230 οἱ τραχηλαῖς καὶ 232 πολλὴν 233 ἀξιώνητους 235 κάτεργα 239 με αἰχ. 245 ἔσθησιν 246 προμιθέβονται

με πλοῦτον μέγαν καὶ πολὺν, πλῆθος αἰχμαλωσίας.
ἦλθαν καὶ ἐπεσώσασιν νῆσον τῆς Μιτυλήνης·
ἔῤῥαξαν, ἐνεπαύθησαν, καὶ πάσιν τὴν ὁδόν τους.
εἰς τὴν πόλιν ἐσώσασιν ὥρα μεσονυκτίου,
'ς τὰς εἴκοσι τοῦ σεπτεβριοῦ ἔσωσαν εἰς τὴν πόλιν.
ῥάζουν 'ς τὸν κοντοσκάλιον διχῶς κανένος δόλου,
ἔῤῥαξαν δίχως ταραχὴν, κανεὶς οὐκ ἔμαθέν το,
ὥστε νὰ δώσῃ ὁ ἥλιος καὶ νὰ πλατύνῃ ἡ 'μέρα·
καὶ τὴν αὐγὴν ἐχαίρισαν ὄργανα τοῦ πολέμου,
τρουμπέταις βιόλαις μπίφαρα τύμπαν' ἀνακαράδες,
καὶ μουσικὰ πανέμνοστα ἀπλήρωτα τὰ εἶχαν·
τίνος ψυχὴ νὰ εὑρεθῇ νὰ μὴ χαρῇ καὶ θάλῃ
τὴν παῤῥησιὰν τὴν φοβερὰν τὴν τότε γεναμένην;
ἀπαὶ τὴν τόσην ἡδονὴν καὶ τὴν χαρὰν ἐκείνην·
ὄρη, βουνὰ καὶ θάλασσα χαλοῦν κι ἀντιδονοῦσιν.
μὲ παῤῥησιὰν ἐσέβησαν 'ς τὴν Κωνσταντίνου πόλιν,
σκῆπτρα σηκόνουν θαυμαστὰ, χρυσὰ μαλαματένια,
καὶ τένταις ὁλοτζάπωταις μετὰ χρυσὰ κουδούνια,
ὅλα τὰ κάτεργα καλὰ μὲ τάξιν ἐσεβῆκαν.
ἀπὸ μακρεὰ ἐφούμησαν, ὡς ἔπρεπεν ἀξίως,
τὸν βασιλεὰ, τὴν δέσποιναν, τὸν μέγαν Βελισάριν.
ὁρίζει ὁ μέγας βασιλεὺς ν' ἁπλώσουν καμουχάδες,
χάσδια πεύκια καὶ βλατιὰ, νὰ 'ξέβῃ ὁ Βελισάρις,
τὸ ἄλογόν του νὰ πατῇ, νὰ πάῃ 'ς τὸ παλάτι.
τρισχίλιοι ἐκαβαλλίκευσαν ἄρχοντες τῶν κατέργων
καὶ μέσ' ὁ Βελισάριος μετὰ μεγάλης δόξης,
μετὰ πολλῆς τῆς παῤῥησιᾶς καὶ λαμπροκοσμημένος.
ἐπέζευσεν, ἐνέβηκεν ἀπάνω εἰς τὸ παλάτιν,
πρῶτα τὴν γῆν ἐφίλησεν κι εὐθὺς τὸν βασιλέα,
καὶ τὸ τζαγκὶν τοῦ βασιλεῶς ἠσπάσθη τιμημένα.
ἐχάρηκεν ὁ βασιλεὺς, μεγάλως τὸν ἐδέχθην.
ποιοῦσιν πόρταν θαυμαστὴν νὰ φέρουσιν τὸν ῥῆγα
μαζῆτζα μὲ τοὺς ἄρχοντας, λέγω τῆς Ἐγγλητέρας,
καὶ λιθομαργαρίταρον, ἀσήμιν καὶ χρυσάφιν,

---

250 πολλὴν 251 η om in initio versus 254 εἰς 254 κανένας 257 ὥστε νὰ σώσῃ Coestlinus, ἕως ν' ἀναδύσῃ Bursianus 259 τύμπανα καὶ 264 θάλασσα scripsi conl. Georgilla v. 409, φοβερὰ cod., quod originem traxit e v. 262 265 εἰς 268 καλὰ scripsi: τακτικὰ cod. τακτὰ Coestlinus 279 τζαγκὴν

χρῆμαν πολὺν ἀτίμητον καὶ πλοῦτον οὐκ ὀλίγον.
βλέπει τὸν πλοῦτον τὸν πολὺν, ἐχάρηκεν μεγάλως·
κ᾿ ἐκ τὴν χαρὰν τὴν θαυμαστὴν τὴν εἶχ᾿ ὁ βασιλέας
μήτε τοῦ δείπνου ἐφρόντιζε μήτε τοῦ κοιμηθῆναι,
μετὰ τὸν Βελισάριον πάντοτε δὲ ὑπάρχει,
νύκταν, ἡμέραν ἅπασαν, ποτέ τους δὲν χωρίζουν.
στραφῆν, ἰδεῖν οἱ ἄρχοντες τὴν τόσην παῤῥησίαν
καὶ τὴν ἀγάπην τὴν πολλὴν τὴν εἶχεν εἰς ἐκεῖνον
ὁ βασιλεὺς ὁ θαυμαστὸς μετὰ Βελισαρίου,
βάνουν διπλοῦ ζιζάνια, βάνουν διπλοῦ τὴν κάκην,
βάνουν διπλοῦ τὴν συμφορὰν, βάνουν διπλοῦ τὸν φθόνον.
καὶ τότες οὖν οἱ ἄρχοντες λέγουν τὸν βασιλέα,
Ἀσάνης τε καὶ Λάσκαρις καὶ Καντακουζηναῖοι,
Δούκας, Ἀστρᾶς καὶ Κανανὸς καὶ ὁ Διπλοβατάτζης,
Παλαιολόγος πρίγκιπας, Σφαντζῆς καὶ Λονταρέοι,
Ῥάλλης καὶ Πριμικήριος καὶ Κοντοστεφαναῖοι,
ὅλοι φωνάζουν καὶ λαλοῦν ὡς διὰ τὸν Βελισάριν
„ἤξευρε, πάντων δέσποτα, Χριστιανῶν τὸ κράτος,
πρὶν νὰ πληρώσῃ τρίμερον, χάνεις τὴν βασιλείαν·
τὸν Βελισάριον, βασιλεῦ, ᾽ς τὴν Κωνσταντίνου πόλιν
ὅλον τὸ πλῆθος ἀγαποῦν, τὸν Βελισάριν θέλουν,
κεῖνον τιμοῦν καὶ προσκυνοῦν παροῦ τὴν βασιλείαν·
κι ἂν οὐ τὸν χάσῃς, βασιλεῦ, κι ἂν οὐ τὸν θανατώσῃς,
τὸν ἐδικόν σου θάνατον θέλεις ἰδεῖ συντόμως·
κάθε ἡμέραν πολεμοῦν καὶ ὀργανόνουσίν τον."
κι ὁ βασιλεὺς ὡς τό ᾽κουσεν, ἐχάθην, ἠλλοιώθην·
ὅσην ἀγάπην ἔδειχνεν ἐν τῷ Βελισαρίῳ,
τόσην κακιὰν καὶ ὄργηταν ἐγύρισεν εἰς αὖτον·
καὶ τὴν τιμὴν καὶ δούλευσιν τὴν τοῦ Βελισαρίου
ποσῶς οὐκ ἐνθυμήθηκεν ὁ βασιλεὺς ὁ μέγας,
ἀντὶ τιμῆς ἀνταμοιβεῖ κακὴν ἔχθραν μεγάλην.

---

284 πολλὴν 285 πολὴν 286 εἶχεν 291 κ om in initio versus 295 τότε σὸν 296 κατακουζηνέοι 297 ἀστέρας 298 πρίγγηπας σφαντζῆς cod.; sed φραντζῆς scribendum esse videtur 299 πριμικύριος 302 fort. πληρώσῃς Coestlino placet χάνει τ. β. ὁ Βελισάριος 'Belisarius imperio te privabit' 303 ὁ βελισάριος cod., pro quo accusativum restituere non dubitavi: ceterum cf. v. 531 sqq. εἰς 305 ἐκεῖνον 308 κάθε scripsi (καθὴν Coestlino placebat): καθ᾿ ἣν cod. sed ἡν e dittographia litterarum ἡμ ortum esse videtur 309 ἠλιώθην 311 ὄργιταν 314 ἀνταμοιβὴν

τί τὸ λοιπὸν ἐγίνετον ᾽ς τὸν μέγαν Βελισάριν,
[τὸν μέγαν Βελισάριον, Χριστιανῶν ἡ δόξα,]
τὸν φοβερὸν, τὸν θαυμαστὸν, τὸν φρόνιμον, τὸν μέγαν;
νὰ γράψω· διὰ τὴν φρόνεσιν ἄλλος κανεὶς οὐκ ἦτον
εὔτυχος δίκαιος πιστὸς, τῶν Χριστιανῶν ἡ δόξα,
[τὸν φοβερὸν, τὸν θαυμαστὸν, τὸν φρόνιμον, τὸν μέγαν].
ποτέ του οὐκ ἐνθυμήθηκεν κατὰ τοῦ βασιλέως,
εἰς ἀπιστιὰν καὶ κάκωσιν νὰ βάλλῃ ὁ λογισμός του.
πολεμιστὴς καὶ νικητὴς, εὐτύχιος ῥιζικάρις
χώραις καὶ κάστρη ἐδούλωσεν ᾽ς τὴν Κωνσταντίνου πόλιν.
ἐτίμησεν τὸν βασιλεὰ, τῶν Χριστιανῶν τὸ γένος.
ἀντὶ τιμῆς ἀνταμοιβὴν ὁρίζει, φέρνουσίν τον,
τὰς χεῖρας δένουν ὄπισθεν ὡς περιφρονημένου·
᾽ς τὸν βασιλέα ἔμπροσθεν συντόμως φέρνουσίν τον.
εὐθὺς ὁρίζει ὁ βασιλεὺς, πάραυτα τὸν τυφλόνουν.
μέγαν κακὸν καὶ θαυμαστὸν γέγονεν ᾽ς τοὺς Ῥωμαίους·
κλαίουσιν δὲ οἱ ἅπαντες, μικροί τε καὶ μεγάλοι,
μέγαν κλαυθμὸν ἐποίκασιν ᾽ς τὴν Κωνσταντίνου πόλιν.
σύντομα τὸν ἐτύφλωσεν, τινὰς μὴν τὸ γροικήσῃ,
μὴ τὸ νοήσῃ τὸ κοινὸν καὶ ταραχὴν σηκώσουν.
ἀλλ᾽ ὅμως οὐκ ἐκρύβηκεν ἡ ἄδικος ἡ πρᾶξις·
ὥσπερ ποθοῦσιν ἅπαντες τὸ φέγγος τῆς ἡμέρας,
οὕτως καὶ ἐδιψούσασιν τὸν μέγαν Βελισάριν.
ὡς τό ᾽κουσαν, ὡς τό ᾽μαθαν οἱ ἄνθρωποι τῆς χώρας,
σηκόνουν ἀνακάτωμα καὶ ταραχὴν καὶ ζάλην,
σύρνουν σπαθιὰ οἱ ἅπαντες, ζητοῦν τὸν Βελισάρην,
ὑπᾶν κ᾽ εὑρίσκουν τον τυφλὸν εἰς τῆς Χρυσιᾶς τὴν πόρταν·
λυποῦνται, κλαίουν ἅπαντες, μικροί τε καὶ μεγάλοι,
κλαίει κι αὐτὸς μὲ τὸ κοινὸν, γροθοκοπᾷ τὸ στῆθος.
διαβάζει χρόνους ἱκανοὺς μόνος, ἀναστενάζει·
„ποῦ ἡ τιμὴ κι ὁ πλουτισμὸς, ἡ δόξα καὶ τὸ κράτος,
ἡ παῤῥησιὰ ἡ θαυμαστὴ ἡ τοῦ Βελισαρίου;
ἤργησαν ὅλ᾽, ἐχάθησαν, ἐσκόλασαν συντόμως.“
κάθεται μόνος μοναχὸς καὶ συχνοαναστενάζει

319 καὶ τῶν χ. 324 εἰς τὴν 327 περιφρονημένον 331 δὲ om 332 εἰς 336 οἱ ἅπ. cod., οἱ del Bursianus 337 οὕτος ἐδιψοῦσαοι (om καὶ) 341 ὑπάσιν καὶ ηὑρίσκουν τ. τ. εἰς τὰς χρυσέας 342 λοιποῦνται οἱ ἅπ., ut v. 336, quod correxi

εἰς μοναστήριν ἔνδοξον βασιλικὸν κι ὡραῖον,
τὸ λέγουν Παντοκράτορα, πλησιὸν τῶν Ἀποστόλων.
καὶ τότ᾿ ὁ Βελισάριος ὁ θαυμαστὸς ὁ μέγας
ἀναστενάζει, δέρνεται, ἐξανασπᾷ τὰς τρίχας,
κλαίει βρυχεῖται καὶ λαλεῖ, ὑπομονὴν οὐκ ἔχει·
ἂν τό ᾿χεν μάθει πρότερον, ἂν τό ᾿χεν ἐγροικήσει,
τὴν βασιλείαν τῶν Ῥωμαιῶν κληρονομήσειν εἶχε·
ἀλλ᾿ ὅμως οὐκ ἠθέλησεν τοῦτο νὰ τὸ ποιήσῃ,
οὐδὲ ᾿ς τὸν νοῦν του κἂν ποσῶς τὴν συμβουλὴν νὰ βάλῃ·
καὶ ἀπὸ παραπόνεσης κι ἀπὸ στενοχωρίας
λόγους δριμιοὺς βρυχητικοὺς λέγει ἀπὸ καρδίας
„ἂν ἔπραξα ᾿ς τὴν βασιλειὰν κακὸν ἢ ἐναντίον
κ᾿ ἐπίβουλος νὰ ῾βρέθηκα, ἄπιστος νὰ γενόμην,
δίκαιον ἔν τὸ ἔπαθα, τινὰς μὴ μὲ λυπῆται·
εἰ δὲ διὰ φθόνον ἔποικεν ὁ βασιλεὺς ᾿ς ἐμέναν,
καὶ τὴν τιμὴν καὶ δούλευσιν ποσῶς οὐκ ἐνθυμήθην,
εἰς τὸν κριτὴν τὸν φοβερὸν, τὸν ἄνω βασιλέα,
᾿ς ἐκεῖνον τὸ ἐπέφηκα, ἐκεῖνος ν᾿ ἀποκρίνῃ.“
μετὰ δὲ τὸ διάστημα ἑνὸς χρονοῦ ἡμέρας
μαντάτα ἐπεσώσασιν κακὰ καὶ ἐναντία·
οἱ Πέρσαι, οἱ Σαρακηνοὶ χαλοῦν τὴν Ῥωμανίαν,
φουσάτον μέγαν καὶ πολὺν πεζῶν καὶ καβελλάρων
χώραις καὶ κάστρη ἥρπασαν τῆς Κωνσταντίνου πόλης,
χαλοῦν καὶ ἀφανίζουσιν τῶν Χριστιανῶν τὸ γένος.
τέλος ὁρίζει ὁ βασιλεὺς νὰ συναχθῇ φουσάτον,
νὰ μαζωχθῇ καὶ νὰ ᾿ξηβῇ εἰς τὴν Περσιὰν νὰ πάγῃ,
νὰ πολεμήσουν οἱ Ῥωμαιοὶ μὲ τοὺς Σαρακηναίους,
πλῆθος πολλῶν καβαλλαριῶν ἀρίφνητον καὶ μέγαν
καὶ πεζικὸν ἀμέτρητον, τριακόσιαις χιλιάδες,
τῆς Δύσης, τῆς Ἀνατολῆς πεζοὶ καὶ καβελλάροι.
αφ᾿ οὗ δὲ ἐμαζώχθησαν εἰς μίσεμαν ἑτοίμως,
μῆναν ἐδίδασιν βουλὴν τί πράξῃ τὸ φουσάτον.
τὸ πλῆθος οὐκ ἠρκέστηκεν εἰς τὴν βουλὴν ἐκείνην,
ἀλλὰ ζητοῦν, παρακαλοῦν τὸν μέγαν Βελισάρην,
νὰ ᾿πῇ, νὰ δώσῃ τὴν βουλὴν τί πρᾶξαι τὸ φουσάτον.

---

350 τῶν ἁγίων ἀπ. 351 τότε 357 εἰς συνβουλὴν 360 εἰ 363 οἱ δὲ. 366 εἰς ἐκεῖνον τὸ ἐπέφυκα 367 possis ἢ πέρας. ceterum cf. v. 77 supra 369 σαρεκηνοὶ 370 πολλὴν 376 καβαλαρῶν

καὶ τότ᾽ ὁ Βελισάριος τοὺς ἄρχοντας ἐλάλει
„ἄρχοντες τοπαρχεύοντες κ᾽ ἐσεῖς γὰρ (οἱ) στρατιῶται.
ἀφῆτέ με τὸν ἄτυχον καὶ τὸν ἀπολεσμένον,
ἐμένα τὸν ἐψήλωσεν χρόνος κ᾽ ἐτίμησέν με,
καὶ πάλιν μὲ χαμήλωσεν ὁ φθόνος τῶν Ῥωμαίων,
τὸν τόπον καὶ τὴν παῤῥησιὰν καὶ τὴν τιμὴν τὴν εἶχα,
ὁ βασιλεὺς ἐτίμα μας ᾽ς τὸν πρῶτόν του τὸν θρόνον.“

* * * *

καὶ εἷς ἀπὸ τοὺς ἄρχοντας, εὐγενικὸς ἀνδρεῖος,
εὐγενικὸς καὶ φρόνιμος, γέρων τῆς βασιλείας,
τὸν βασιλεὰ δικάζεται, θαῤῥῶν ἀπηλογεῖται,
καὶ λόγους δικασίματος δικάζεται καὶ λέγει
„δέσποτα μέγα, βασιλεὺς, καὶ τῶν Ῥωμαιῶν τὸ σκῆπτρον,
ἡ βασιλειά σου ᾽ν δίκαιος, ἄδικον οὐκ ἐθέλεις·
ὅλον τὸ πλῆθος ἀγαποῦν πολλὰ τὴν βασιλειάν σου.
οἱ ἄρχοντές σου ἔπραξαν ἄδικα διὰ φθόνον,
κ᾽ ἔχασες ἄρχοντα πιστὸν μέγαν ἀνδρειωμένον.
ἀλλὰ τολμῶ, παρακαλῶ, τὴν βασιλειὰν τὸ λέγω.
ἔχει ὁ Βελισάριος υἱὸν ἀνδρειωμένον,
καὶ χάρισε καὶ τίμησε ἀντὶ πατρὸς ἐκεῖνον,
κἂν διὰ τὸν πατέρα του νὰ ᾽λαφρωθῇ καμπόσο,
μήν᾽ ἀνασάνῃ ὀλιγοστὸ ἐκ τὸ κακὸν τὸ εἶδεν,
ν᾽ ἐλπίζουσιν καὶ νὰ θαῤῥοῦν πάλε οἱ ἄρχοντές σου,
ὅτι πιστὰ σ᾽ ἐδούλευσεν, πλοῦτον πολὺν σ᾽ ἐδῶκεν.“
εὐθὺς ὁρίζει ὁ βασιλεὺς νὰ φέρουν τὸν υἱόν του,
τοῦ Βελισάριου τὸν υἱὸν εἰς τὸ παλάτι μέσα·
ἔτρεμεν ἡ καρδία του μὴ πράξῃ εἰς ἐκεῖνον
ὥσπερ κ᾽ εἰς τὸν πατέρα του τὸν πολυπονεμένον.
τοῦ Βελισάριου τὸν υἱὸν ἐλέγασιν ᾽Αλέξιν·
ἠφέραν τὸν ᾽Αλέξιον μέσα εἰς τὸ παλάτιν.
ὁ βασιλεὺς ἐκάτσε τον εἰς θρόνον τοῦ πατρός του,
τιμᾷ καὶ ἀξιόνει τον, πλοῦτον πολὺν τὸν δίδει,
Καίσαραν τὸν ἐποίησεν ἀπάνου ᾽ς τὸ φουσάτον

---

384 τότε 385 οἱ addidi 390 ad lacunam supplendam hunc olim finxi versum τὰ ἔχασα ὁ ἄτυχος καὶ εἶμαι τυφλωμένος 396 ἠθέλεις: unde suspiceris οὐκὶ θέλεις 400 ἄλλω τολμῶ παρεκαλλῶ possis τολμῶν, conl. Georgilla v. 551 402 χάρισαι καὶ τίμησαι 403 καμπόσω 405 νὰ πάλαι 406 σὲ πολὴν 414 πολλὴν 415 εἰς

καὶ μέγαν στρατοπέδαρχον κι αὐθέντην τιμημένον.
ὅλον τὸ πλῆθος τοῦ λαοῦ θέλουν καὶ ἀγαποῦν τον,
μᾶλλον δὲ κ᾽ ηὐχαρίστησαν τὸν μέγαν στρατιώτην,
τὸ πλέον τὸν δοξάζουσιν δι᾽ ὄνομα τοῦ πατρός του.
καὶ ὁ πατέρας τὸν υἱὸν καθοδηγᾷ καὶ λέγει,
δίδει βουλὴν, παραγγελιὰν νὰ πράξῃ τὸ φουσάτον·
καλὴν βουλὴν τὸν ἔδωκεν, ὡς ἔδειξεν τὸ τέλος.
καὶ τότες οὖν Ἀλέξιος ὁ Καίσαρας ὁ μέγας
δένει τὰ χέρια του σφικτὰ, ὡς ἔπρεπεν ἀξίως,
καὶ προσκυνεῖ τιμητικὰ μετὰ τὴν δέσποινά του.
πατέρα καὶ μητέρα του ἀπεχαιρέτησέν τους,
ἐπέρασεν κ᾽ ἐμίσευσεν, ὑπάγει τὸ φουσάτον
μὲ ὄχλησιν καὶ ταραχὴν καὶ παῤῥησιὰν μεγάλην·
καὶ ὥσπερ λάμπει ὁ ἥλιος ἐν οὐρανοῖς τὰ ἄνω,
οὕτως φουσάτον ἤστραπτεν ᾽ς τὴν γῆν ἐξαπλωμένον.
σαράντα ἡμέρας ἤλλαξαν μετὰ σπουδῆς μεγάλης.
ἐσκότωσαν * ἐπέμειναν ὅλα τὰ παλαφρέα·
ἐσύμωσαν εἰς τὴν Περσιὰν, εἰς τὴν Σαρακηνίαν.
τριῶν ἡμερῶν διάστημα ἦτον ἀνάμεσά τους,
[οἱ Πέρσαι οἱ Σαρακηνοὶ μὲ Χριστιανῶν τὸ γένος.]
τὴν ἐμπροστέλλαν ηὕρασιν σαράντα χιλιάδες,
ἡ ἐμπροστέλλα τῶν Περσῶν μὲ Χριστιανῶν τὴν βίγλαν·
θνῆσιν πολλὴν τοὺς πολεμοῦν, κανεὶς οὐκ ἐγλυτόνει.
ὡς τό ᾽κουσεν, ὡς τό ᾽μαθεν αὐθέντης τῆς Περσίας,
τὸ πῶς ἐχάσεν παντελῶς τὸ ἄνθος τοῦ φουσάτου,
λυπᾶται λύπην ἄμετρον, δειλιάζει τὸ φουσάτον,
πέμπει συχνὰ μηνύματα ᾽ς τὸν Καίσαρα τὸν μέγαν
μ᾽ ἀποκρισιάρην φρόνιμον, μὲ πλουτισμὸν μεγάλον·
τριακόσια μουλάρια [ἔστειλεν] πράγματα φορτωμένα,
βλαντία γὰρ καὶ μάλαγμαν, χάσδια, καμουχάδες,
καὶ πᾶσαν χρόνον νὰ τελῇ μάλαγμα τριάντα λίτραις,
μόνον νὰ παύσῃ τοῦ θυμοῦ κι ὀπίσω νὰ γυρίσῃ.
ἔκαμεν, ἐκατέστησεν, ἐδούλωσεν τοὺς Πέρσας.

419 διὰ 423 τότεσον καίσαρις 425 των pro του 430 οὗτος τὸ φ. 431 fort. ἤλασαν 432 ἐπέμειναν corruptum 433 σαρεκηνίαν 435 με τῶν χ. 437 μετὸν 440 τ om in initio versus 443 με ἀπ. 445 ἔστειλεν delendum censet Coestlinus.

ἐμπρὸς ὀπίσω ἐγύρισεν Χριστιανῶν τὸ φουσάτον
μὲ κέρδος καὶ μὲ πλουτισμόν, μ' αἰχμαλωσιὰν μεγάλην.
Πλαταίνω τὴν ἀφήγησιν, πολλὰ τὴν παρασύρνω,
ἂς ἔλθω 'ς τὸ προκείμενον τὸ ἔγινεν ὑστέρου.
διότι πολλὰ παράδικα ἔπρατταν οἱ Ῥωμαῖοι,
ἐπράττασιν καὶ πράττουν τα καὶ πάλε κάμνουσίν τα,
καὶ ὁ θεὸς ὁ δίκαιος κριτὴς ἔν καὶ παιδεύει,
καὶ ἀφανίζει (ὁ θεὸς) καὶ κατάγει ἀδίκους,
τοὺς δὲ δικαίους κἀγαθοὺς πάλιν ἀναβιβάζει.
τὸ δίκαιον ἔνε ὁ θεός, ἄλλον μηδὲν παντέχῃς.
ἐμάθασιν οἱ ἅπαντες, ἠκούσθη πανταχόθεν,
τὸ πῶς τὸν Βελισάριον τὸν θαυμαστὸν καὶ μέγαν
ἐτύφλωσεν ὁ βασιλεύς, ἐχάρησαν μεγάλως,
πάντες οἱ μαχιζόμενοι ἐχάρησαν μεγάλως.
ἔρχονται εἰς προσκύνησιν μεγάλου βασιλέως
νὰ ἰδοῦν καὶ Βελισάριον τὸν θαυμαστὸν ἐκεῖνον,
τὸ πῶς τὸν ἐκατέστησεν ὁ βασιλεὺς ὁ μέγας.
ἐν μιᾷ οὖν τῶν ἡμερῶν, ὥρα μεσημερίου,
ἦλθαν μεγάλοι ἄρχοντες, λέγω ἀποκρισιάριοι,
μὲ πράγματα, μὲ χρήματα, νὰ ἰδοῦν τὸν βασιλέα,
νὰ ἰδοῦν καὶ Βελισάριον πῶς ἔναι τυφλωμένος.
ἤκουσαν κι ἀπιστοῦσάν το· οὐκ ἐπληροφοροῦντα.
κι ὁ βασιλεὺς ὁ θαυμαστὸς μεγάλως τοὺς ἐδέχθη,
εὐγενικὰ τιμητικά, ὡς ἔπρεπεν ἀξίως.
ὁρίζει ὁ μέγας βασιλεὺς εἰς τὸ παλάτιν μέσα
νὰ μαζωχθοῦν οἱ ἄρχοντες νὰ ἰδοῦν τὸν βασιλέα,
νὰ ἰδοῦν καὶ Βελισάριον πῶς ἔναι τυφλωμένος.
καὶ τί νὰ γράψω καὶ νὰ εἰπῶ καὶ πῶς νὰ τ' ἀφηγήσω
τὴν παῤῥησιὰν τὴν θαυμαστὴν εἰς τὸ παλάτιν μέσα;
τριγύρου γύρου ἐστήσασιν μάλαγμα καὶ χρυσάφιν,
κουρτίνας χρυσιοτζάμπωτας μαργαρολιθαράτας,
τὸν βασιλεὰν ἐτέντωσαν τέντα χρυσὴν ὡραίαν,
λιθαρομαργαρίταρα ἐξόμπλια τῆς τέντας·
τριγύρου γύρου οἱ ἄρχοντες καὶ λαμπροφορεμένοι,

---

449 τῶν χ. 450 με αἰχμ. 452 ἀλλὰ ἀσέλθωμεν 454 πάλαι 456 ὁ θεὸς addidi 457 καὶ ἀγαθοὺς 459 οἰκούσθη 463 Ἄρχονται 464 ἡδοῦν 467 ἀποκρισιάροι 468. 469 ἡδοῦν, eademque scriptura recurrit v. 475 476 ἠπῶ

μέσα ᾽ς τὴν τέντα κάθεται ὁ βασιλεὺς μὲ θρόνον.
ὁ θρόνος ἦτον ἔγκοπτος ὅλος μετὰ μουσείου
λιθαρομαργαρίταρον, ζάφυρον φορτωμένος·
[καὶ μέσα κάθεται ὁ βασιλεὺς μὲ θρόνον εἰς τὴν τένταν,
ὡς ἐπηρμένος βασιλεὺς μὲ λίθους ἀστραπτίζων].
ἐκ δεξιῶν τοῦ βασιλεῶς, μᾶλλον κ᾽ ἐξ εὐωνύμων,
στέκονται δυὸ παιδόπουλα τῶν εἰκοστῶν τὰ ἔτη.
καὶ ποῖος νοῦς νὰ δυνηθῇ νὰ γράψῃ τ᾽ ἐφοροῦσαν
κεῖνα τὰ δυὸ παιδόπουλα τὰ ἔστεκαν κοντά του;
μηνοῦσιν πρὸς τοὺς ἄρχοντας τοὺς ἀποκρισιαρέους,
ἔρχονται εἰς προσκύνησιν μεγάλου βασιλέως,
τριάντα ἐκρατούσασιν λεκάναις χρυσιωμέναις
ἐπάνω ᾽ς τὸ κεφάλιν τους, δουκάτα γεμοσμέναις,
καὶ ἕτερας τριάκοντα ᾽ς τοὺς ὤμους τους ἐπάνω,
χάσδια χρυσιοτζάπωτα, χρυσολελαμπρυσμένα.
κι ἄλλοι ἕτεροι δώδεκα λεκάναις (χρυσιωμέναις),
λιθάρια πανυπέρλαμπρα μὲ τὸ μαργαριτάρι
ἠφέρασιν τὸν βασιλεὰ πολύτιμον κανίσχιν.
ὁ βασιλεὺς ἐδέχθην τους μετὰ χαρᾶς μεγάλης,
εἰς θρόνους ἀξιοτίμητους τοὺς ὥρισεν νὰ κάτσουν.
πρὸς τὸν πλησιόν τους ἐρωτοῦν οἱ ἄρχοντες ἐκεῖνοι
„ποιὸς ἔν᾽ ὁ Βελισάριος ὁ θαυμαστὸς ἐκεῖνος,
[χώραις καὶ κάστρη ἐδούλωσεν, καὶ Χριστιανῶν ἡ δόξα,]
τὸν ἔχομεν ἐξ ἀκοῆς πιστὸν τῆς βασιλείας.“
καὶ τότ᾽ ὁ Βελισάριος ξηβάνει εἰς τὸ μέσον,
ἐκράτειε κ᾽ εἰς τὸ χέριν του καυχὶν τῆς ᾽λεημοσύνης,
καὶ εἰς τὸ ἕτερον δεκανίκιν νὰ ἀκουμπίζῃ.
τριγύρου γύρου ἐγύριζεν τοὺς ἄρχοντας ἐκείνους
᾽ς τὸν βασιλέαν ἔμπροσθεν ᾽ς τοὺς ἀποκρισιαρέους,
καὶ λόγους καρδιοφλόγιστους λέγει μετὰ δακρύων
„δότε τὸν Βελισάριον ὀβολὸν ᾽ς τὸ καυχίν του,

483 καὶ μέσα κάθετε ὁ βασιλεῦ με θρόνον εἰς τὴν τέντα   486 et 487 quin pro dittographia habendi sint, dubium esse non potest   490 τὰ ἐφ.   491 ἐκεῖνα   496 χρυσοτζάποτα   498 χρυσιωμέναις addidi   500 πολίτημον   502 θρόνου   504 ἔνε   505 καὶ τῶν χ. versum spurium habeo   507 τότε   508 καυχὴν τῆς ἐλεημοσύνης   509 possis καὶ δεκανίκιν ᾽ς τ᾽ ἕτερον (ἐκράτει) ν᾽ ἀκ.   512 κ om in initio versus   513 ὀβολῶν εἰς τὸ καυχήν του

(τὸν) ὃν ὁ φθόνος τῶν Ῥωμαιῶν ἐποῖκέ με τοιοῦτον."
[δότε τὸν Βελισάριον, μετὰ δακρύων λέγει,
(τὸν) ὃν ὁ χρόνος ὕψωσεν κι ὁ φθόνος ἐτυφλῶσεν.]
βλέπουν, θωροῦν, στοχάζονται οἱ ἄρχοντες ἐκεῖνοι,
πῶς τὸν ἐχάσαν ἄδικα καὶ πῶς τὸν ἐτυφλῶσαν.
ὁ Βελισάριος τ' ἔποικεν διὰ τὸν βασιλέαν,
νὰ λάβῃ ἀπὸ τοὺς ἄρχοντας τοὺς ἀποκρισιαρέους
κατηγοριὰν καὶ ἐντροπὴν καὶ ὕβριταν καὶ ψέγος.
καὶ πάλιν ἐτριγύριζεν μὲ τὸ καυχὶ 'ς τὸ χέριν,
μὲ βρυχισμοὺς, μὲ στεναγμοὺς τοὺς ἄρχοντας ἐλάλει
„δότε τὸν Βελισάριον ὀβολὸν 'ς τὸ καυχίν του,
(τὸν) ὃν ὁ χρόνος ὕψωσεν κι ὁ φθόνος ἐτυφλῶσεν."
ἀκοῦσιν ταῦτ' οἱ ἄρχοντες, κλαίουσιν καὶ λυποῦνται,
κατηγοροῦν καὶ μέμφονται τὸν μέγαν βασιλέα.
ἐμίσευσαν οἱ ἄρχοντες οἱ ἀποκρισιαρέοι·
ὁ βασιλεὺς τιμητικὰ ἀπεχαιρέτησέν τους.
ἐπῆγαν, εὐφημῆσάν το οἱ ἄρχοντες 'ς τὸν κόσμον,
τὸ πῶς ὁ Βελισάριος ὁ νικητὴς ὁ μέγας,
ὁ μέγας φρονιμώτατος, τῆς βασιλειᾶς οἰκεῖος,
καὶ τῶν Ῥωμαίων διάδοχος καὶ μέγας τροπαιοῦχος,
ὁ βασιλεὺς κ' οἱ ἄρχοντες διὰ φθόνον τὸν ἐχάσαν.
ὅλος ὁ κόσμος εὐθυμεῖ, ἐχάρησαν μεγάλως
οἱ πάντες μαχιζόμενοι τῆς Κωνσταντίνου πόλης.
Ἡμεῖς δὲ βίβλοις ἔχομεν σοφῶν τε καὶ ῥητόρων
καὶ φιλοσόφων παλαιῶν, μεγάλων διδασκάλων,
εἰς λέξιν ἀκριβέστατη γραμμάτων διηγήσεις,
ὅπως γνωρίζουν οἱ πολλοὶ τὸν φθόνον τῶν Ῥωμαίων,
τὸ πῶς ἐχάσαν παντελῶς τὰ κάστρη καὶ τὰς χώρας,
τὸν πλουτισμὸν, τὴν παῤῥησιὰν ἐκ τοῦ πολλοῦ τοῦ φθόνου.
εἶδες, παιδὶ, τί πολεμεῖ ὁ φθόνος τῶν Ῥωμαίων;
ἐπῆραν τὸ κατήφορον, οὐκ ἠμποροῦν σταθῆναι,
καὶ κυλιντροῦσιν ὄπισθεν, τὸ γένος τῶν Ῥωμαίων.

514 (τὸν) addidi, conl. Georgilla v. 695, ὅτι placebat Bursiano 515 βολῶν μετὰ δακρύων λέγει, post quae verba ὃν ὁ φθόνος ὕψωσεν rubrico deleta sunt 515 (τὸν) addidi φθόνος a scriba ipso e χρόνος factum 517 θεωροῦν 519 τὸ 522 καυκὴ 524 εἰς τὸ καυχήν του 525 cf. ad 516 526 ταῦτα 527 μέφονται 530 ἐφημήσαντους 539 ἐ om in initio versus λέγξιν ἀκριβέστατοι γρ. διηγήσης 543 παιδί μου

ἐγὼ δὲ λέγω ἀπρόκοπος, γραμμάτων ἀπειράστως,
κατάνυξιν καὶ στοχασμὸν θέλω σᾶς ἀφηγεῖσθαι.
Θεὲ, οὐράνιε βασιλεῦ, ψεύστην νὰ μὲ ποιήσῃς!
τὸ γένος τῶν Ἀγαρηνῶν τὸν κόσμον θέλει φάγει,
Ῥωμαίους, Σέρβους, Φράγκους τε, Βλάχους τε καὶ Λατίνους·
ἀμέλειαν ἔχουν οἱ Ῥωμαιοὶ, φθόνον πολὺν καὶ μέγαν.
μονάφεντον κι ὁρμητικὸν Ἀγαρηνῶν τὸ γένος,
ἕνα θεὸν λατρεύουσιν, κ᾽ ἕναν ἀφέντην τρέμουν,
σπουδὴν ὁμόνοιαν θαυμαστὴν ἔχουν εἰς τὸν δεσπόζων·
ποτὲ ὁμόνοιαν οἱ Ῥωμαιοὶ, ποτὲ μοναφεντίαν,
ποτὲ καλῶν ἀνάκλησιν οὐκ ἠμποροῦν νὰ ᾽δοῦσιν.

---

546 ἀπηράστως 551 πολλὴν 552 ὁρμηνιτικὸν 554 σουδὴν 555 ποταὶ primo loco, altero ποτέ, tertio ποταὶ 556 καλλὸν.

ΕΜΜΑΝΟΥΗΛ ΓΕΩΡΓΙΛΛΑ

ΙΣΤΟΡΙΚΗ ΕΞΗΓΗΣΙΣ ΠΕΡΙ ΒΕΛΙΣΑΡΙΟΥ.

τὸν ὃν ἡ τύχη ὕψωσεν καὶ τύφλανεν ὁ φθόνος·
ἐπὶ τῆς βασιλείας δὲ μεγάλου βασιλέως,
Ἰουστινιανὸς ἐλέγετο καὶ μέγας αὐτοκράτωρ
καὶ τῆς μεγάλης ἐκκλησιᾶς ἁγιᾶς Σοφιᾶς δομήτωρ.

Ὦ θαυμαστὸν μυστήριον, ὢ συμφορὰ μεγάλη·
λύπη ἀπαραμύθητος, ὀδύνη καὶ πικρία!
εἰς τὸν καιρὸν τοῦ ἄνακτος Ἰουστινιανοῦ μεγάλου,
μεγάλου αὐτοκράτορος, μεγάλου βασιλέως,
(καὶ κτήτωρ τῆς ἁγιᾶς Σοφιᾶς μεγάλης ἐκκλησίας)
ἐφάνη Βελισάριος, ἀνὴρ σοφὸς ἀνδρεῖος·
ἐν τοῖς πολέμοις τοιγαροῦν κ᾽ εἰς μηχανὰς καὶ πράξεις
νὰ εἶπες κ᾽ ἦτον ὀφθαλμὸς τῆς Κωνσταντινουπόλης,
κι ὁ φθόνος, τὸ κακὸ θηριὸν, στέρησέν του τὰ μάτια,
καὶ ἔχασε τὸ γλυκερὸν τὸ φῶς τοῦ κόσμου τούτου.
μέγα κακὸν, μέγα θηριὸν ὁ φθόνος ἔνι, φίλοι,
σκορπίον ἀπεικάζουν το μὲ μύρια κεντρούνια.
ὁ φθόνος, τὸ κακὸ θηριὸν, ἐμπῆκεν εἰς Ῥωμαίους,

Hoc carmen e codice Parisino 2909 primus edidit I. Allan Giles, Oxonii 1843, cuius editionis sexaginta tantum impressa sunt exemplaria. utrum editio Veneta a. MDLIV facta idem carmen praebeat necne nunc non constat: nemini enim eam ut videret adhuc contigit. in proecdosi Gilesium secutus eram, nunc vero Legrandii beneficio conlationem nactus accuratam, permultos locos corrigere potui uniusque versus a Gilesio praetermissi defectum supplere.

Βελλισαρίου et sic ubique.

3 Ἰουστινιανιὸς   7 μεγάλου scripsi: τε   11 καὶ μειχανιάς   13 ὑστέρησέν   15. 16 Duc. p. 635

ἀπέσω εἰς καρδίας των ἐῤῥίζωσεν δι' ὅλου·
φθόνος ὁ πρῶτος τῶν κακῶν ἁμαρτιῶν τοῦ κόσμου·
ὥσπερ ἐφάνην ἀπ' ἀρχῆς 'ς τὸν ἄθλιον τὸν Κάϊν·
ἐφθόνησε τὸν ἀδελφὸν αὐτοῦ πρῶτα τὸν Ἄβελ,
καὶ τότε τὸν ἀπέκτεινε δίχ' ἀφορμὴν κακίας·
ὁ φόνος ἠκολούθησεν ἐξόπισθε τοῦ φθόνου.
εἶχεν ὁ πρῶτος γεννηθῆν εἰς τὸν παρόντα κόσμον,
τὸ μέγα πρῶτον τῶν κακῶν, ὁ μετὰ ταῦτα, φόνος.
καὶ ποιὸς οὐκ ἐδαγκάθηκεν ὑπὸ σκορπίου φθόνου;
χωρεῖ καὶ 'μπαίνει πανταχοῦ, χωρεῖ καὶ πιάνει πάντας,
καὶ βασιλεῖς καὶ ἄρχοντας, πένητας καὶ πλουσίους.
χώρας καὶ κάστρη χάλασαν αἱ γνῶμαι τῶν ἀνθρώπων·
βασίλεια καὶ αὐθέντειαι μεγάλαι ἐχαθῆκαν.
εἶδα σὲ, φθόνε, τίς εἶ σύ, τίς ἔνι ὁ τεκών σε,
εἶδα καὶ ἔγνων σε καλῶς τὸ τί ξεύρεις νὰ ποίσῃς.
εἶδα καὶ πῶς ἐτύφλωσες τὰ μάτια τῶν Ῥωμαίων·
κι αὐτὸν τὸν Βελισάριον τὸν φημιστὸν καὶ μέγα,
τὸν ἰσχυρὸν καὶ φρόνιμον καὶ πρακτικὸν εἰς ὅλα.
ὢ κρίμαν ὁποῦ γίνετον βαβαὶ τίς μὴ θρηνήσῃ,
εἰς τίτοιον ἄνδρα θαυμαστὸν τίτοιον κακὸ νὰ γένῃ;
ὁποῦ καὶ μὲ τὴν γνῶσίν του καὶ μὲ τὴν ὀρδινιάν του,
μὲ τὴν σοφιάν του τὴν πολλὴν ἐκέρδησε τὸν κόσμον,
καλὸν μοιράδιν ἔστησε 'ς τὸ πλάγιν τῶν Ῥωμαίων,
πολλὴν τιμὴν ἐδώρησε τὴν Κωνσταντίνου πόλιν,
ὕψωσε καὶ ἐδόξασε Χριστιανοὺς Ῥωμαίους,
καὶ προσκυνοῦνται ὑπὸ πολλῶν πιστῶν τε καὶ ἀπίστων.
Καὶ τὸ λοιπὸν ἀπὸ τοῦ νῦν ἐῶ, ἀφίνω ταῦτα·
γράψειν εἶχα καὶ πλεότερα νὰ 'πῶ διὰ τὸν φθόνον,
ἀμμὴ σχολάζω, τὰ πολλὰ τὰ πάντα καταλείπω.
Λοιπὸν ἀρχίζω τὴν ἀρχὴν τὴν πρὸς τὸν βασιλέα,
τὸν μέγαν Ἰουστινιανὸν τὸν μέγαν αὐτοκράτορ.
ὁρίζει, φέρνουν παρευθὺς ἀβελισάριόν τε,
λέγει τοιάδε πρὸς αὐτὸν μετὰ πολλοῦ τοῦ πόθου
„ὦ Βελισάριε, σήμερον ἄκουσον τῆς φωνῆς μου,

---

23 φθόνος . . φόνου cod., quod in proecdosi reliqueram 24 γεννηθείς 27 μπένη 29 κάστροι 30 βασιλεῖαι 31 Ἴδασε 37 Cor. p. 353 38 του prius quod in proecdosi de meo addideram, nunc a Legrandio certior fio in ipso codice inveniri 45 γράψην 46 καταλοίπω

τὸν ὁρισμόν μου ποῖσέ τον καὶ δούλευσον εἰς τοῦτο.
ἔπαρε πλεῖστα πέρπυρα, δίδω σε καὶ μαϊστόρους,
παρέβγαλε τὸ κτίσιμον, τὸ τείχωμα τῆς πόλης,
ὅσον νὰ δράμῃ ἄλογον καλὸν ἀνδρειωμένον.
εἰς χρόνου ἑνὸς τέρμενον νὰ ἔνι καμωμένον·
καὶ ἂν ἡ γνώση σου φανῇ κ' ἴδω τὸ κτίσμα κεῖνον,
ἀρέσῃ με καὶ τοὺς ἐμοὺς καὶ πάντας ἄρχοντάς μου,
πίστευσον, καταστήσω σου μέγα τοῦ παλατίου."
ἤκουσε Βελισάριος τὴν ὑπόσχεσιν ταύτην
καὶ τὰ λαμπρὰ τὰ μέλλοντα λαμβάνειν ἐν τῷ τέλει,
πάραυτα πίπτει, προσκυνεῖ τὸν βασιλέα κεῖνον
„ἐγὼ ὑπάρχω δοῦλός σου" λέγει „δεδουλωμένος,
καὶ τὸ κελεύεις ὅρισον, κἀγὼ νὰ τὸ πληρόνω."
ἐπένευσεν ὁ βασιλεὺς καὶ στάμενα τὸν δίδει,
κἀκεῖνος κτίζει σύντομα, εὐθὺς καὶ τελειόνει.
πολλοὶ γὰρ ἐθαυμάσασιν ἐπάνω εἰς τὸ κτίσμα
τὴν πρᾶξιν καὶ τὴν ὀρδινιὰν ὁποῦ 'ποικεν ἐκεῖνος
ὁ μέγα Βελισάριος εἰς τὸ τειχιὸν τῆς πόλης.
ὁ βασιλεὺς καὶ δίδει του δόξα, τιμὴν καὶ πλοῦτον,
τοσοῦτον ὕψωσεν δ' αὐτὸν — τίς ἔχει διηγεῖσθαι; —
ὅτι τοῦ φθόνου κάμινος ἐξῆψεν, ὑπερῆψεν,
φθονοῦσίν τον οἱ ἄρχοντες, πρῶτοι τοῦ παλατίου,
ἔργα τὰ πόσα κάμνουσιν καὶ πόσα καταλέγαν·
ἐπλήρωσαν τὰς ἀκοὰς τοῦ βασιλεῶς ἐκεῖνοι
„βλέπεις τὸν ἄνδραν" ἔλεγον „ὃν ἔποικες μεγάλον,
κατὰ μικρὸν τὸ κράτος σου θέλει τὸ καταλύσει."
καὶ εἷς ἀπὸ τοὺς ἄρχοντας ἐκ τοὺς Παλαιολόγους
τὸν βασιλεὰ δικάζεται μετὰ πολλοῦ τοῦ θράσους,
καὶ τάχα δὲ ὡς συγγενὴς ἐλάλειν οὕτως λέγων
„ὦ δέσποτα παντάνακτα, δέσποτα αὐτοκράτορ,
ἐγνώριζε ἀπὸ τοῦ νῦν ὅτι ἡ βασιλεία
ἡ ἔνδοξος, ἡ θαυμαστή, εἰς ἄλλον μεταπέσῃ,
εἰς ἄλλον μη τοῦ κράτους σου μήτε τῶν συγγενῶν σου·
αὐτὸς ὁ Βελισάριος ὃν ἔποικες μεγάλον,

54 Cor. p. 296 56 Duc. Add. p. 183 ἵνα 64 κελέβης 65 ἐπαίνευσεν: procedosis falso ἐπαίνεσεν 68 ὁποῦ ποι κενεκεῖσθαι 70 δείδῃ 71 ἔχει scripsi coll. v. 321, ἄρα cod. 74 ἔργατα, quod fortasse relinquendum erat 80 συγγενεῖς

αὐτὸς σκοτόνει, παίρνει σου βασιλείαν καὶ στέμμαν."
ὁ βασιλεὺς ἐτρόμαξεν ἀκούων τέτοια λόγια,
ἐκ τὸ θρονὶν ἐπήδησεν ὡς ἄγριον θηρίον,
ὡς βοῦς γὰρ ἐμυκήσατο καὶ πρὸς ἐκεῖνον λέγει
„ἔχεις, εἰπέ μοι, μάρτυρας ὃ λέγεις νὰ προστήσῃς,
τὸν δόλον, τὴν ἐπιβουλὴν τοῦ πράγματος, τὸ δρᾶμα;"
τότε προσφέρει μάρτυρας πλαστοὺς κατὰ τῆς ὥρας·
εὑρέθη Καντακουζηνός, Ῥάλλης, Παλαιολόγος,
Ἀσάνης καὶ ὁ Λάσκαρις καὶ Κάνος καὶ ὁ Δούκας·
καὶ μαρτυροῦσιν ἄδικα κατὰ Βελισαρίου.
αἲ κρίμαν ὁποῦ γίνετον οὐ συστενάζεις, δίκη;
ἔδε κακόν, ἔδε πικρόν. καὶ τίς νὰ μὴ θρηνήσῃ,
τὴν εἰς τὸν ἄνδρα τὸν καλὸν νὰ ποίσῃ τέτοια κρίση;
ὁρίζει καὶ σεβάζουν τον 'ς τοῦ ἄνεμου τὸν πύργον,
βουλόνουσι τὰ μάτια του μὲ τὸ χρυσὸν μανδήλι,
βουλόνουν οἱ μεσάζοντες κι ὁ βασιλεὺς ὁ μέγας
τρεῖς χρόνους τοῦ νὰ κάθεται ἀπέσω εἰς τὸν πύργον·
νὰ ὑστερῆται καὶ τὸ φῶς καὶ τῆς ἀβροτραπέζης,
νἄχῃ ψωμὶν καμπανιστὸν καὶ ὕδωρ μὲ τὸ μέτρος.
ἀλλ' ὅμως οὐκ ἠρκέσθησαν οἱ καταμυτωτάδες·
θάνατον ἐφωνάξασιν ὡς οἱ Ἑβραῖοι πάλαι
τὸ „ἆρον ἆρον σταύρωσον" εἰς τὸν καιρὸν τοῦ πάθους
τοῦ γλυκυτάτου Ἰησοῦ Χριστοῦ τοῦ ζωοδότου,
οὕτω κ' αὐτοὶ ἐκραύγαζον περὶ Βελισαρίου.
ἀλλ' ὀφθαλμὸς ὁ ἄυπνος ὁποῦ ποτ' οὐ κοιμᾶται
προσέσχεν, εἶδεν, ἔβλεψεν· ἄκουε τί ἐσυνέβη.
μανδατοφόροι φθάνουσιν εἰς ὥρα μεσονύκτου,
ὅτι τινὲς ἀλλογενεῖς τὰς χώρας του κουρσεύουν,
ἀπήρασιν κι ἀνθρώπους του καὶ λάφυρα καὶ σκῦλα,
πολλοὺς αἰχμαλωτίσασιν, ἀπέδειραν κἂν πόσους,
πολὺν ἐποίκασι κακὸν ἐπὶ τὴν Ῥωμανίαν.
ὁ βασιλεὺς ὡς ἤκουσεν ἐκεῖνα τὰ μανδάτα,
ἐτρόμαξεν, ἐξέστηκεν, ἐφύρθην, ἐπαγώθην,
καὶ τρεῖς ἡμέρας ἔποικε σωστὰς πεπληρωμένας,

---

87 Duc. Add. p. 188 93 κατακουζηνὸς ῥάλης 104 Duc. p. 566; Cor. p. 177 105 Duc. p. 610 110 ποτὲ 112 Duc. p. 862 115 κανπόσους 116 πολλὴν 118 Cor. pp. 130, 358 119 Duc. Add. p. 181; Cor. p. 342 119. 120 Duc. p. 1516

μήτε φαγίου καὶ ποτοῦ μήτε ὕπνου προσψαύων.
καὶ κάτεργα ὁ βασιλεὺς ἔβγαλεν ἑβδομῆντα,
ἐξοπλισμένα, θαυμαστὰ, καλὰ ἡρματωμένα,
καὶ ἕτερα τριάκοντα ἀπὸ Θεσσαλονίκης
γαλιόταις καὶ πλοιάρια, ἀμέτρους ῥατζηβούδαις·
ἄνδρες καλοὺς πολεμιστὰς, γεννάδας καὶ ἀλκίμους
καὶ ναύταις, ὄντως νὰ εἰπῇς φάλκωνες καὶ πετρίταις·
τζάγκρας καὶ μπαλαιστρέριδες, τόξα καὶ τοξατόρους,
σκεύη καὶ πουμπαρδιέριδες, τομφάκια, συρπεντίναις
ἐνέμπλησε τὰ κάτεργα καὶ ναῦς τὰς μαχικάς του·
ἄνδρας ἐκατεσφάλισεν, ἔφραξεν ἐξ ἁρμάτων,
ν᾽ ἀστράπτουσι τὰ ἅρματα, νὰ ᾽κπέμπουσιν ἀκτῖνας.
καὶ τίς οὐ περιθαύμασεν ἐμβλέπων τὰ τοιαῦτα;
ἀλλ᾽ ὅμως οὐκ ἐγίνωσκε μικρὸς εἴτε καὶ μέγας
ἢ καὶ κατεργοκύριοι εἴτε ὀφφικιάλοι
ποῖος νὰ ἔνι ἀρχηγὸς, νὰ ἔνι καπιτάνος.
ὁρίζει δὲ ὁ βασιλεὺς νὰ συναχθοῦν οἱ πάντες,
μικροὶ, μεγάλοι, γέροντες, αὐτόχθονοι καὶ ξένοι,
ἐπάνω εἰς παλάτια ἐκεῖσε νὰ ʽβρεθῶσιν.
οἱ πάντες ἐσυνάχθησαν μικροί τε καὶ μεγάλοι,
κἀκεῖ κι ὁ μέγας βασιλεὺς ἤρξατο τούτους λέγειν
„ὑμᾶς ὧδε ἐσύναξα ἵνα μὲ αὐκρισθῆτε
καὶ νὰ μὲ δώσετε βουλὴν εἰς τὸ ζητῶ καὶ θέλω.
ἰδοὺ γὰρ ἐκατόρθωσα ἐτούτην τὴν ἁρμάδαν
ἐξοπλισμένην εὔμορφα, καθὼς καὶ θεωρεῖτε,
καὶ κύριον οὐκ ἔποικα καπιτανὸν εἰς αὔτην.
λοιπὸν οὐκ οἶδα τίς ἐστιν ἄξιος εἰς ἐτοῦτο·
νᾆνεν εἰς ὅλα πρακτικὸς, ἄριστος καὶ ἀνδρεῖος,
καὶ νὰ γεννᾷ βουλεύματα καλὰ τῆς ἀριστείας.
εἴπατε, δότε μοι βουλὴν, ἄρχοντές μου, εἰς τοῦτο,

120 Duc. p. 1654 προσψαῦσαν quod in procedosi perverse mutatum est in προσψαύσειν 121 Duc. p. 444 εὐβομήκοντα 123. 124. 125 Duc. p. 1285: καὶ ἕτερα τριάκοντα ἀπὸ Θεσσαλονίκης γαλιότες, Καὶ πλοιάρια πολλὰ καὶ ἀμέτρους ῥατζιβοῦδες, Ἄνδρας καλοὺς, καλοὺς πολεμιστὰς, γεννάδας καὶ ἀλκίμους 126. 127 Duc. p. 1662 127 Duc. pp. 968 et 1583 127. 128 Duc p. 1386 128 Duc. pp. 220, 1493 et 1593 129 ἐνέμπλοισε 131 ἐκπέμπουσιν 134 φφικιάλιοι 138 ἐκεῖσθαι νὰ εὐρεθῶσεν. 141 Cor. p. 72 ἀνκριθῆτε Giles, αὐκρισθεῖτε cod. 142 δόσεται 143. 144 Duc. p. 121 144 θεωρεῖται

μὴ θέλοντες ἐρεσχελεῖν μηδὲ κακεῖν ἐνταῦθα·
ἀλλ' ἐπὶ φόβον τοῦ θεοῦ νὰ 'κλέξετε τὸν κάλλιον."
οἱ ἄρχοντες ἐσίγησαν· κανεὶς λόγον οὐ δίδει·
ἀλλ' εἰς τὸν ἄλλον ἔβλεπον οἱ ἄρχοντες ἐκεῖνοι·
λοξῶς φολξῶς ἀλωπεκῶς καὶ ὥσπερ τὴν ἀρκοῦδα
καὶ πάλιν ἐξεφώνησεν ὁ μέδων ἐκ δευτέρου·
πολλὰ ἐλυποτρώθησαν οἱ μεγιστᾶνοι τότε.
βλέποντα οὕτως ἔκραξε τὸ πόπολον τῆς χώρας,
φωνὰς τρανὰς ἐφώναξαν οἱ πάντες ἐν τῷ ἅμα
„δέσποτα πάντων, βασιλεὺς, τῶν αὐθεντῶν αὐθέντα,
ἀνατολῆς καὶ δύσεως κύριε αὐτοκράτορ
καὶ τῶν Ῥωμαίων ὁ φρουρὸς, Χριστιανῶν τὸ φοῦμος·
πρῶτον πιστεύομεν θεὸν τρισυπόστατον ἕνα,
κι ὅλοι θαῤῥοῦμεν εἰς αὐτὸν ἵνα μᾶς δώσῃ νίκην,
νὰ καταβάλῃ τοὺς ἐχθροὺς καὶ νὰ τοὺς ἀφανίσῃ.
τὸ δεύτερον πιστεύομεν 'ς μεγάλην βασιλειάν σου,
τρίτον εἰς Βελισάριον ὃν ἔχεις τυφλωμένον.
ἂν θέλῃς, μέγα βασιλεῦ, νικήσειν τοὺς ἐχθρούς σου,
βάλε τὸν Βελισάριον αὐθέντην καπετάνον
ἐπάνω 'ς τὴν ἀρμάδα σου, εἰς ὅλον σου τὸν στόλον.
καὶ σὺ μὲν οὖν, ὦ βασιλεῦ, εἶδας τὸν ἄνδρα τοῦτον,
εἰς νίκας τε (κι) ἀνδραγαθιὰς μεγάλας του ἀριστείας.
εἰς Πέρσας καὶ Σαρακηνοὺς ἀλλὰ κ' Ἰσμαϊλήτας
καὶ πανταχοῦ ἐγίνετο νικητὴς τροπαιοῦχος·
εὔτυχος καὶ καλότυχος καὶ μέγας ῥιζικάρης,
πιστὸς καὶ πρακτικώτατος, εὔτολμος, ῥωμαλέος."
ὁ βασιλεὺς ὡς ἤκουσε τὸ πόπολον, τὸ πλῆθος,
τὸ πῶς ζητοῦν καὶ θέλουσιν ἀβελισάριόν τε,
καὶ ὅτι ἔγνω κατ' αὐτὸν τὸ ἄδολον τῆς γνώμης,
πῶς διὰ φθόνου ἔγκλειστος ἐγίνηκε τοῦ πύργου,
ὡς ἄλαος νὰ κάθεται τρεῖς χρόνους τυφλωμένος,
καὶ ὅτι ἀναιτίατος ἔνι εἰς τὸ καθόλου,
ἄδολος καὶ ἀκέραιος χωρὶς ἐπιβουλίας·
ὁρίζει, φέρουν τὸν αὐτὸν ἔμπροσθεν εἰς τοὺς πάντας·

151 Cor. p. 168 γκλέξεται 156 ἐλυγοτρώδησαν 157 Duc. p. 1204 160. 161 Duc. p. 1695 163 δόσει 164 καταβάλλει 165 εἰς 168 βάλαι 168. 169 Duc. p. 121 171 (κι) addidi 174 Duc. p. 1298; Cor. p. 138 178 αὐτοῦ procedosis contra libri fidem 182 ἀκαίρεος

κατέναντι ἐστάθηκεν ἐκεῖ τοῦ βασιλέως,
μὲ τὸ μανδήλιν τὸ χρυσὸν τὰ μάτια τυφλωμένος·
καὶ τὸ ἰδεῖν ὁ βασιλεὺς μετὰ χαρᾶς τὸν λέγει
„ὦ Βελισάριε“ λέγει τον „εὔχου τὸ πλῆθος, λέγω,
καὶ τοὺς ἐχθρούς σου ἐνίκησας τοὺς καταμυτωτάδες·
ἐγὼ τοίνυν εὐχαριστῶ θεὸν τὸν παντεπόπτην,
ὁποῦ σε 'βλέπει σε καλῶς κ' ἔχεις τὸ φῶς καὶ βλέπεις·
ὁ φθόνος ὄντως ἤθελεν ὅτι νὰ σὲ τυφλάνῃ
μετὰ ἀνθρώπων τέ τινων πλαστῶν τε κακοτρόπων.
ἐγὼ δ' ἀπάρτι λύσω σου τὰ δεσμὰ καὶ ταῖς βούλαις·
τὴν παῤῥησίαν τετραπλοῦν ἣν εἶχες τότε πρώην,
καὶ δόξαν τε καὶ αὐθεντειὰν πάλιν σὲ καταστήσω,
καὶ καπετάνον ποίσω σε ἐφ' ὅλην τὴν ἀρμάδαν.“
ἀνταπεκρίθη πάραυτα ἀβελισάριός τε
καὶ πρὸς τὸν ἄνακτα γοργὸν ἀπηλογεῖται, λέγει
„ἄναξ ἀνάκτων κάλλιστε, δέσποτα στεφηφόρε
καὶ τῶν Ῥωμαίων ἀρχηγὲ ἀνατολῆς καὶ δύσης,
ἐγὼ τὴν βασιλείαν σου ποτὲ οὐκ ἔπταισά την·
μὰ τὴν χρυσήν σου κεφαλὴν καὶ μὰ τὴν βασιλειάν σου
ἔξω οὐδὲν ἐξέβηκα ἐκ τοῦ θελήματός σου,
καὶ λόγον οὐκ ἐνήργησα, δημηγερσίας ἔργον·
δόλος οὐδὲν εὑρέθηκεν ἀπέσω 's τὴν καρδιάν μου,
οὐδὲ ψυχή μου ἤγειρε κατὰ σοῦ ἀνταρσίαν·
οὐκ ἐγενόμην, βασιλεῦ, ἀντάρτης εἰς ἐσένα,
πῶς οὕτως μὲ συνέφερεν ὁ φθόνος, πῶς ἐκλώσθη,
καθὼς εἶπας, ὦ βασιλεῦ, νὰ χάσω τὴν ζωήν μου
καὶ τὴν ἀξιὰν καὶ τὴν τιμὴν καὶ φῶς τῶν ὀμματιῶν μου·
ἐπεὶ δ' ὁ φθόνος πώποτε οὐ θνήσκει εἰς αἰῶνας,
οὔτε δ' ἐγὼ ἐνδέχομαι εἰς τὸ νὰ δευτερώσω,
κι ὁ φθόνος πάλιν τὸ θηριὸν νὰ δευτεροδαγκάσῃ.
ἄρχοντας ἔχεις, βασιλεῦ, θαυμαστοὺς καὶ ἀνδρείους·
ὅρισον, ἂς ὑπάγουσιν, ἂς ποίσουν δούλευσίν σου,
κἀμὲ δὲ ἄφες ὥς με δεῖ τοῦ νὰ 'μαι τυφλωμένος,
μή τι συνέβη με δεινὸν ἐκ τῶν ἀπροσδοκήτων.“

188 Duc. p. 610 190 βλέπησε 195 κατεστήσω proecdosis contra librum 196 Duc. p. 586 202 τήν σου βασιλείαν 208 Duc. p. 669 ἐκλόστη 213 Cor. p. 102 νὰ μὲ, corr. Bicelas 215 ποίουν

ἀκούσας ταῦτα παρευθὺς ὁ βασιλεὺς ἀντέφη
„τὸν ὁρισμόν μου ποῖσέ τον, ἐγὼ σὲ συμβουλεύω·
τὸ θέλημά μου πλήρωσον καὶ ἀπειθὴς μὴ γίνου.“
πάραυτα Βελισάριος ἔκλινε τὸ κεφάλιν,
πίπτει εἰς γῆν καὶ προσκυνᾷ τὸν μέγα βασιλέα,
πρῶτα φιλεῖ τὰ χώματα, ἔπειτα τὸ τζαγκίν του,
καὶ τότε μὲ τὰς χεῖράς του ἔλυσε τὸ μανδήλιν·
ὅπου ὁ Βελισάριος ἐκεῖθεν ἐτυφλώθην,
ἐκεῖ πάλιν τῆς τ' ἔλυσεν ὁ βασιλεὺς ὁ μέγας.
καὶ λέγει τον „ἀπὸ τοῦ νῦν δίδω σου τὴν ἀξίαν
τοῦ νά 'σαι καπετάνιος ἐφ' ὅλην τὴν ἁρμάδα,
καὶ ὡς κελεύσῃς ποίησον, ἔχεις τὴν ἐξουσίαν,
αὐθέντην σὲ κατέστησα καὶ πρᾶττε ὥσπερ θέλεις.“
λαβὼν ὁ Βελισάριος τοιαύτην ἐξουσίαν,
ἄργηταν οὐ μὲν οὖν αὐτὸς νὰ πολεμᾷ καμμίαν·
εὔμορφον εἶχε τὸν καιρὸν, ἐμίσευσεν, ἐδιέβη,
κάστρη πολλὰ παρέλαβε, μετέτρεψε καὶ χώρας,
καὶ πάλιν ἀπεδίδοντο Ῥωμαίοις τὰ Ῥωμαίων.
τὸ δὲ νησὶν ὁπούῤῥιψε ζυγὸν τὸ τῶν Ῥωμαίων,
ὁποῖον ἐδιαυθέντευεν ὁ ῥὴξ τῆς Ἐγκλητέρας,
ὁ ἀποπτύσας χαλινὸν τῆς Κωνσταντίνου πόλης,
πάραυτα ὥρμησεν κἀκεῖ στόλος ὁ τῶν Ῥωμαίων.
ὅταν ἐπλησιάσασιν εἰς γῆν τῆς Ἐγκλητέρας,
ἐῤῥάξαν, ἐξεσκάλωσαν, ἐβγῆκαν οἱ Ῥωμαῖοι.
ἐβγῆκε Βελισάριος ὁ μέγας καπιτάνος
οὐδὲ καλὰ ἐπάτησε τὴν γῆν τῆς Ἐγκλητέρας,
ἐπεδοκλώθην, ἔπεσεν, εἰς γαῖαν ἐξαπλώθην.
ἰδόντες τοῦτο τὸ συμβὰν πολλοὶ ἐδειλανδρῆσαν·
οἱ ἄρχοντες ἐτρόμαξαν, ἔσεισαν κεφαλάς των.
γνωρίσας Βελισάριος τὴν ἀτυχίαν τούτων,
διαλαλημὸν ἐποίησε, λόγους τοιούτους εἶπεν,
νὰ σύρουσιν τὰ κάτεργα εἰς γῆν ὁμοιῶς καὶ τἆλλα,

---

221. 222. 223 Duc. p. 1774 223 Duc. p. 1557; Cor. pp. 349, 392 224 μὲ τὰς cod., μετὰ proecd. falso 226 τὸ ἔλυσεν 232 suspiceris ἄργηταν οὐκ εἶχεν αὐτὸς 234 κάστροι 238 ἀποπτήσας, quod non correxeram in proecdosi 240. 241 Duc. p. 1379; Cor. p. 317 244 Duc. p. 1139; Cor. p. 290 245 ἐδειλανδρεῖσαν 245. 246 Cor. p. 103 247 τούτην proecdosis contra codicis fidem

μικρὰ μεγάλα πάραυτα, καὶ νὰ τὰ ξερματώσουν·
κουπία τε καὶ ἄρμενα καὶ ἄρματα παντοῖα,
ὅλα νὰ τὰ ξεβάλλουσιν καὶ νὰ τὰ εὐκαιρέσουν,
καὶ ὅταν οὕτως γένηται, κενώσουσι τὰ ξύλα,
τότε νὰ βάλουσι φωτιὰ καὶ ὅλα νὰ τὰ καύσουν.
ἐγίγηκε τὸ πρόσταγμα, ἔκαυσαν τὰ καράβιὰ,
ἔκαυσε καὶ τὰ κάτεργα, ἀφῆκε μόνα τρία,
νὰ τά 'χῃ δι' ἐπιστολὴν, νὰ τά 'χῃ διὰ μανδάτα.
τότε ὁ καπετάνιος δημηγορεῖ καὶ λέγει
„νὰ ξεύρετε, οἱ ἄρχοντες, μικροί τε καὶ μεγάλοι,
ἐγὼ ποτὲ οὐκ ἔκαυγα τὰ κάτεργα, τὰ ξύλα,
ἐὰν ἐσεῖς τυχαίνετε εἰς μιὰν καρδίαν ὅλοι,
εἰς μιὰν ψυχὴν, εἰς ὄρεξιν, ὅλοι νὰ πολεμοῦμεν.
βλέπων ἐγὼ τὸ δίψυχον καὶ τὸ ἀκάρδιόν σας,
καὶ πῶς ἐδειλανδρήσετε διὰ τὸ πέσιμόν μου,
ἔκρινα ὅτι νὰ καγοῦν τὰ κάτεργα καὶ ξύλα,
περοῦ λαὸς ὁ τῶν Γραικῶν ἑνωθῇ μὲ τοὺς Φράγκους,
νὰ πολεμίζουν δυνατὰ, νὰ μὴ ἔχουν πόθεν φύγειν,
μετ' αὔτους νὰ κατακοποῦν εἰς συμπλοκὰς πολέμου,
καὶ πᾶς Γραικὸς νὰ μὴ γνοιαστῇ νὰ φύγῃ νὰ γλυτώσῃ,
νὰ μὴ ἔχῃ 'πίσω μέριμνα καὶ ποῦ πλοῖον νὰ φύγῃ.
τοῦτο δὲ πᾶσι προφωνῶ καὶ πᾶσι παραγγέλλω,
εἴ τις δειλιάσῃ καὶ στραφῇ, τὰ 'πίσω του γυρίσῃ,
ἂν ἦναι υἱὸς τοῦ ἄνακτος, ἐγὼ νὰ τὸν φονεύσω.
εἰ δέ τις εἰς τὸν πόλεμον σταθῇ καὶ πολεμήσῃ,
ἀνδρειωμένα, πρόθυμα, καλῶς ἀνδραγαθήσῃ,
νὰ τὸν πλουτίσω, περισσὰ χρήματα νὰ τοῦ δώσω,
νἄχῃ καὶ δόξαις καὶ τιμαῖς ἀπὸ τὸν βασιλέα.
καὶ τὸ λοιπὸν ἂς δράμωμεν ὡς γῦπες εἰς τὸ βρῶμα,
ἀνδρειωμένα, εὔτολμα, μετὰ καλῆς καρδίας,
τοὺς Φράγκους νὰ νικήσωμεν αὐτοὺς τοὺς 'Εγκλιτιάνους.
ἐλπίζωμεν εἰς τὸν θεὸν νὰ ἔνι εἰς μᾶς τὸ νῖκος.
θαῤῥῶ καὶ νὰ δουλώσωμεν ὅλην τὴν 'Εγκλητέραν,
καὶ μετὰ δόξης καὶ τιμῆς 's τὴν πόλιν νὰ στραφοῦμεν,

251. 252 Duc. pp. 445 et 734 253. 254 Duc. p. 1722 βάλλουσι cod. 259 ξεύρεται 261 νὰ τυχένετε 263 δικάρδιον procedosis contra codicem 264 μου Biccias, μόνον cod. 265. 266. 267 Cor. p. 295 267 φύγη 269 Duc. Add. p. 50 270 fortasse κάπου 's πλ. 275 πρόθερα fortasse ν' ἀνδρ. 281 εἰς ἡμᾶς

σκῦλα καὶ λάφυρα πολλὰ πολίταις νὰ κερδήσουν,
καὶ πλοῦτον ὑπεράπειρον νὰ παρουν τῶν Λατίνων.
καὶ διὰ τοῦτο ἔκαυσα τὰ ξύλα καὶ τὰ πλοῖα
διὰ αὖταις ταῖς δύ' ἀφορμαῖς αἷς θέλετε γροικήσει,
ἢ νὰ κερδήσωμεν ἡμεῖς, νὰ πάρωμεν τον τόπον,
ἢ νὰ χαθοῦμε παντελῶς ῥωθούνι μὴ γλυτώσῃ."
καὶ εἷς ἀπὸ τοὺς ἄρχοντας τὸν Βελισάριον λέγει,
πλούσιός (τε) καὶ εὐγενὴς κ' ἐκ τῶν ἐνδόξων μέγας,
ἐκ τὴν γενεάν του ὑψηλὴν θαῤῥῶν ἀπηλογήθην
„οὐκ ἔπραξας στρατιωτικὰ τὰ κάτεργα νὰ καύσῃς."
τοῦτον καὶ μόνον εἴρηκεν τὸν λόγον ὁ γεννάδας·
ἀκούσας Βελισάριος εὐθὺς κατὰ τῆς ὥρας
τὸν ἄρχοντα κατέκαυσε καὶ ἐθανάτωσέν τον,
τὸν θαυμαστὸν καὶ ἔνδοξον καὶ μέγα πολιοῦχον.
ἅπαντες γὰρ ἐφρίξασιν ἐμβλέποντες τὸ δρᾶμα·
τρέμουσίν τον οἱ ἄρχοντες κ' αὐτοὶ οἱ μεγιστᾶνοι·
πᾶσα ψυχὴ, μικρὸς, μέγας, ἐφύρθην, ἐπαγώθην,
φόβος ἀγάπῃ σύμμικτος νὰ ἔνι εἰς ἐκεῖνον.
καὶ ἐκ τοῦ φόβου τοῦ πολλοῦ καὶ ἐξ αὐτοῦ τοῦ δέους
ἐπολεμίζὰν ἰσχυρῶς μετὰ καὶ τοὺς Ἀγκλέζους·
τόσ' ἔπραξαν, τόσ' ἔποικαν, τόσα ἐπολεμίζαν,
ποσῶς οὐκ ἐπαυόντισαν διὰ νυκτὸς κ' ἡμέρας.
ἐπέσαν δὲ καὶ ἄρχοντες πολλοὶ ἐκ τοὺς Ῥωμαίους·
τὸ πλεὸν ἐγίνετο κακὸ ἐπάνω εἰς τοὺς Ἀγκλέζους,
μέγα ἐγίνη φονικὸν 'ς τὴν γῆν τῆς Ἐγκλητέρας.
καὶ τέλος ἠνδραγάθησαν [οἱ] Κωνσταντινουπολῖται
καὶ παίρνουν κάστρη καὶ λαὸν καὶ τὸ νησίν τε ὅλον,
καὶ πλοῦτον ὑπεράπειρον, παιδιὰ, ἄνδρες, γυναῖκες,
ὅλον τὸ κατακέρδησεν ἡ σπάθη τῶν Ῥωμαίων.
τὸ κάστρον δὲ τὸ ἐξαίρετον τὸ καθολικὸν κείνων,
ἐν ᾧ ὁ ῥὴξ εὑρίσκετον, δὲν ἠμποροῦν νὰ πάρουν
καὶ πολεμίζουν δι' αὐτὸ ἑκατονταπλασίως·
πόσα ἐπολεμίζασιν νύκτας καὶ τὰς ἡμέρας!
σκάλας ἐποῖκαν ξύλινας, ἐγκρύφευσαν τὰ τείχη·
εὐθέως ἐνεπήδησαν ἀπέσω οἱ Ῥωμαῖοι·

287 δύο θέλεται 288. 289 Duc. Add. p. 165 290 τὰς ἄρχοντας 291 (τε) addidi 292 τον τὴν 295 κατὰ τὰ τῆς 297 ἔνδειξον 299 τρεμούσιν 304 τόσα bis 310 κάστροι 313 ἐκείνων

κάμνουσι πόλεμον φρικτὸν ἀμφότερα τὰ μέρη·
κρεοκοποῦνται, κόπτουνται, τὰ αἵματά των χέουν.
τίς ἔχει διηγήσασθαι τὸν πόλεμον ἐκεῖνον,
ὃν ἔποικαν ἀμφότεροι Ῥωμαῖοι καὶ Λατῖνοι,
πόσα ἀνήγερτα κορμιὰ κείτονται τῶν ἐνδόξων;
τέλος τὸ μέρος τῶν Γραικῶν ἐκέρδησε τὸ κάστρον.
οἱ πρῶτοι ὁποῦ σέβηκαν ἀπέσω εἰς τὸ κάστρον
καὶ στήσασιν τὰ φλάμμουρα ̓ς τὸν τοῖχον, δύο ἦσαν
(κ') αὐτάδελφοι ἐτύγχανον, Ἀλέξις καὶ Πετρολήφας,
πατρὸς, μητρὸς ὡς ἐξ ἑνὸς, ἄνδρες αἱμάτων ἦσαν·
ὑπῆρχον καὶ δημότυχοι καὶ κάτω ἀπὸ γένος.
ὡς οὖν ὁ καπετάνιος ὁ μέγας τροπαιοῦχος
τοὺς Φράγκους ἐκατέβαλεν κι αὐτὴν τὴν Ἐγκλητέραν,
καὶ πῆρεν ὅλο τὸ νησὶν καὶ κατεδούλωσέν το,
κι ὁ ἀνυπότακτος (ὁ) ῥὴξ μὴ θέλων ὑπετάγη,
τὰ πάντα καὶ ἐκέρδησεν (ἀλλὰ καὶ πῶς ἐξείπω;),
ὁρίζει τοὺς ὁμαίμονας οὓς προείπομεν δύο,
δημότυχοι Ἀλέξιος ἔτι καὶ Πετρολήφας,
οἱ ποῖοι ἠνδραγάθησαν καὶ πήδησαν καὶ πῆραν
τὸ κάστρον καὶ ἐστήσασι φλάμμουρα βασιλέως,
μεγάλως καὶ ἐτίμησαν, ἐδόξασαν Ῥωμαίους,
ἠθέλησεν αὐτὸς τοὺς δυὸ νὰ τοὺς ἀντιδοξάσῃ.
ἐκάτσεν τους εἰς δυὸ φαριὰ θαυμαστὰ καὶ ὡραῖα
μὲ σέλλαις χρυσοπλούμισταις, μὲ χρυσᾶ πτερνιστήρια,
καὶ τὸν καθέναν ἔζωσε χρυσὸν σπαθὶν ̓ς τὴν μέσην,
καβαλλαριοὺς τοὺς ἔκαμεν προσκυνητοὺς αὐθέντας,
χρυσόζωνους καὶ βύσσινα ῥοῦχα κατὰ ξαμύτου
νὰ ἔχουν καὶ τὴν κεφαλὴν γύρωθε χρυσωμένην.
καὶ παλληκάρια καλὰ διάλεκτα τοὺς δίδει
καὶ νὰ τοὺς ἐψηκεύουσιν, ὡς ἔθος, κατ' ἀξίαν·
φημίζει καὶ ἀξιόνει τους εἰς ὅλον τὸν λαόν του,
δίδει των στάμενα πολλὰ κι ἀμέτρητον λογάριν.

---

325 ὁ πρῶτος ὁποῦ σέβηκεν 327 (κ') addidi 332 ὅλον procedosis contra librum κατεδούλωσέν τον 333 (ὁ) addidi 336. 337 Cor. p. 307 338 φλάμπουρα hic et supra v. 327 procedosis praeter codicis auctoritatem 341. 342 Duc. pp. 1184 et 1349; Cor. p. 315 343. 344 Duc. p. 527 345 'βύσσινα ῥοῦχα καταξαμύτου' Duc. p. 1309 347. 348 Duc. p. 1073; Cor. p. 394 350 Duc. p. 819 et 1427

ταῦτα ὁ Βελισάριος ἐποίησεν εἰς αὐτους,
εἰς πάντας κατενώπιον ὄντες ἐν Ἐγκλητέρᾳ·
ὅτε δὲ πάλιν ἤλθασιν ἐν Κωνσταντινουπόλει,
ὁ μέγας Ἰουστινιανὸς ἐτίμησε κἀκεῖνος
Ἀλέξη Πετρολήφαν τε· ῥοῦχα τίτοια τοὺς δίδει,
ἐνδύματα παράξενα πολλὰ παρηλλαγμένα,
ἐπάνωθε τῆς τραχηλιᾶς, κάτω εἰς τὰς ποδέας,
καὶ κάτω εἰς τὰ μανίκια τὰ πάντα χρυσωμένα
μὲ λιθομαργαρίταρα πολύτιμα ὡραῖα·
τιμᾷ καὶ ἀξιόνει τους κι ὀφφίκια τοὺς ἐδῶκε.
Λοιπὸν πάλιν ἂς στρεψωμεν τὸν λόγον ἐξοπίσω.
ὥρισε Βελισάριος εἰς ὅλα τὰ καστέλια
εἰς ὅσα εἶχε τὸ νησὶν κεῖνο τῆς Ἐγκλητέρας,
καὶ τεκτονῆσαν ἑκατὸν καράβια καὶ τριήρεις.
ἀπὸ παντοῦ ἐσύναξε τέκτονας πελεκάνους,
μέσα εἰς μῆνας τέσσαρας ἐπλήρωσαν τὰ πλοῖα,
κ' ἔῤῥιψάν τα εἰς θάλασσαν κ' ἡρμάτωσέν τα ὅλα.
ἐχάρηκεν, ἐσκίρτησεν ἀπέσω ἡ ψυχή του,
καὶ βάλλει καὶ γεμόζει τα λάφυρά τε καὶ σκῦλα·
ἀπῆρε κέρδος ἄπειρον, ἀσήμιν καὶ χρυσάφιν,
καὶ λιθομαργαρίταρα, στολὰς ἠγλαϊσμένας·
καὶ 'πῆρε καὶ τοὺς ἄρχοντας πασῶν τῶν καστελίων
καὶ κεφαλάδας οὓς εἶχεν ὅλη ἡ Ἀγκλητέρα,
τὸν ῥῆγα τὸν ἐξάκουστον, τοὺς πρώτους αὐθεντάδας,
λιτοὺς καὶ ἀνυπόδητους, γυμνοὺς ἐντροπιασμένους·
σίδηρα εἰς τοὺς πόδας των, ἐξάγκωνα δεμένους
μὲ τὸ σχοινὶν 'ς τὸν τράχηλον ὡς καταδικασμένους.
τότε ὁ Βελισάριος ἀπ' ὅλον τὸ φουσάτον,
ἀπ' ὅλους τοὺς ἀνθρώπους του τὴν ἐκλογὴν ἐποῖκεν·
ἄνδρες Ῥωμαίους καὶ καλοὺς ἔστησε κεφαλάδας,
νὰ προμηθεύουνται καλῶς, νὰ βλέπουσι τὸν τόπον,
τῆς Ἐγκλητέρας τὸ νησὶν μετὰ πόνου νὰ βλέπουν

355 τέτοιᾳ proecdosis praeter librum 358. 359 'καὶ τὰ πάντα χρυσομένα μὲ λιθομαργαρίταρα' Duc. p. 813 365 Duc. p. 1144 367 καίρρυψαν cod., καὶ ῥῖψάν proecdosis 370 ἄπειρον scripsi: ἄπηρεν proecdosis, ἄπηρον cod. 371 Duc. p. 813, πολλὰς pro στολάς 372. 373 Duc. p. 642 373 οὓς scripsi, ἃς cod. Ἐγκλ. proecdosis contra cod. 376 Duc. Add. p. 69 376. 377 Cor. p. 127 381 προμηθεύωνται proecdosis falso 382 πολλοῦ cod., πόνου scripsi

καὶ νὰ κρατοῦν τὸ δίκαιον, τινὰς μὴ ἀδικῆται.
ὅταν οὖν ἐσυνόρθωσεν καὶ διέταξε τὰ πάντα,
ὥρμησεν, ἦμπεν εἰς τὰς ναῦς, ἐδιέβη τὴν ὁδόν του·
ἐμίσευσαν καὶ κάτεργα καὶ ὅλος του ὁ στόλος.
καὶ παίρνουν πλοῦτον ἄπειρον, τ᾽ οὐ δύναμ᾽ ἀφηγεῖσθαι.
καὶ τὴν ὑγρὰν ἐτρέχασι μετὰ χαρᾶς μεγάλης.
εἰς ἓν νησὶν ἐφθάσασιν ὃ λέγουν Μιτυλήνη,
ἔῤῥαξαν, ἐνεπαύθησαν ἄχρι τρεῖς τε ἡμέρας·
καὶ πάλιν ἐσηκώθησαν καὶ τὴν ὁδὸν ἐπιάσαν,
κἀκεῖ πρὸς τὸ μεσάνυκτον ἔφθασαν πρὸς τὴν πόλιν.
εἰς εἴκοσι ἐφθάσασι μηνὸς τοῦ Σεπτεβρίου
κ᾽ εἰς τὸν λιμένα ἔῤῥαξε ἐκεῖ ᾽ς τὸ κοντοσκάλι,
ἀκτύπητα, ἀνόητα, μέχρι τοῦ περιόρθρου.
καὶ τὸ πρωῒ πριχοῦ ξεβῇ ἡ λάμψις τοῦ ἡλίου,
παίζουν τρουμπέταις, ὄργανα, τουμπάκι᾽, ἀνακαράδες,
σύρνουν πουμπάρδαις περισσαῖς, γύρονται πάντες, τρέχουν
νὰ ᾽δοῦν ἐκείνην τὴν χαρὰν, νὰ μάθουν καὶ μανδάτα.
σηκόνουσι τὰ φλάμμουρα τοῦ βασιλέως τότε,
κατὰ ξαμύτου ταῦτα δὲ μετὰ τῶν κουδουνίων·
κάμνουν χαρὰν ἀνέκφραστον, τίς δύνατ᾽ ἀφηγεῖσθαι;
τῶν σκουταρίων φωταυγαὶ καὶ τῶν ἁρμάτων πάντων
τὸν ἥλιον ἀντηύγαζον κι αὐτὴν τὴν ᾽Αφροδίτην,
τῶν νέων τὰς παραταγὰς καὶ τὰς κραυγὰς ἐκείνων
ποίαν οὐκ ἤγειραν ψυχὴν ἐπὶ τὴν εὐφροσύνην;
δοκῶ καὶ φύσις ἄψυχος ἐσκίρτησεν, ηὐφράνθη,
ὄρη, βουνὰ, καὶ θάλασσα, νάπαι ἀντιδονοῦσαν.
ὁ βασιλεὺς ᾽Ιουστινιανὸς καταμαθὼν τὰ πάντα
ἃ ἠνδραγάθησεν αὐτὸς ὁ καπετάνιός του,
καὶ πῶς ἐκατεδούλωσεν ὅλην τὴν ᾽Εγκλητέραν,
ἔφερε δέ γε καὶ τὸν ῥὴξ ποδοσιδηρωμένον,
ἐχάρην ἡ ψυχοῦλά του, ἐσκίρτησε μεγάλως,
εἶπεν εὐθέως, ὥρισε πεύκια καὶ χαμουχάδες
νὰ τὰ ᾽ξαπλώσουν εἰς τὴν γῆν καὶ ᾽πάνω νὰ πατήσῃ,

387 τὸ οὐ δύναμαι   389. 390 Cor. p. 317   394 Duc. p. 1379; Cor. p. 317   396 πρωιχοῦ   397 Duc. pp. 1590 et 1619. p. 1588 idem affert τρουμπέτες, ὄργανα, τουβάκια, ἀνακαράδες   398 Duc. p. 220. πουμπάρδες   399. 400 Duc. p. 1682   400 φλάμπουρα proecdosis   402 δύναται   414. 415 ‘εἶπεν εὐθέως ὅρισε πεύκια καὶ χαμουχάδες Νὰ τὰ ξάπλωσιν εἰς τὴν γῆν etc.’ Duc. p. 565

ὁ μέγα καπετάνιος νὰ πάγῃ εἰς παλάτιν·
ἔνθα γὰρ ᾤκει βασιλεὺς, ἔνθα προσεκαρτέρει.
τρισχίλιοι τὸν ἀκλουθοῦν ἄρχοντες τῶν κατέργων,
εἰς μέσον Βελισάριος μετὰ μεγάλο 'ψήκι,
καὶ μετὰ δόξης τῆς πολλῆς ἐκλαμπροφορεμένος.
ὡς οὖν ὁ μέγας ἔφθασεν, ἐσέβην εἰς παλάτιν,
ἔπεσε, προσεκύνησεν, ἐφίλει γόνατά του
τοῦ βασιλεῶς, τοῦ ἄνακτος, καὶ μετ' αἰδοῦς μεγάλης.
ἐχάρηκεν ὁ βασιλεὺς, μετὰ καὶ τῆς συγκλήτου·
παρῆν καὶ χειροδέσμιος ὁ ῥὴξ τῆς 'Εγκλητέρας.
ἰδὼν ὁ μέγας βασιλεὺς τὸ πλῆθος τοῦ χρυσίου,
τὸ λιθομαργαρίταρον ὃν ἔφερε καὶ πλοῦτον,
ῥοῦχα, ἐνδύματα πολλὰ καὶ πράγματα μεγάλα,
ἐξέστη καὶ ἐθαύμασεν, ἔφριξε θεωρῶν τα·
χαρὰν γὰρ εἶχε ποταπὴν, χαρὰν πολλὴν μεγάλην·
μετὰ τὸν Βελισάριον ἤσθιε, συνετρύφα·
ὥρα·οὐκ ἐδιέβαινε νὰ μὴ 'βρεθοῦν ἐντάμα·
ἡ κλίνη τοὺς ἐχώριζεν, ἡ κοίτη δὲ καὶ μόνον.
τί δὲ συνέβη καὶ κακὸ ἀνάμεσα τῶν δύο;
ὁ φθόνος, τὸ κακὸ θηριὸν, πάλιν ἀντεσηκώθην,
ἀντεξανέστη τοιγαροῦν κατὰ Βελισαρίου·
καὶ πάλιν 'κεῖν' οἱ ἄρχοντες ὁποῦ τὸν ἐφθονοῦσαν
βάλλουν διπλοῦν ζιζάνια εἰς ὦτα βασιλέως,
σπέρνουν χολόκοκκα πικρὰ, πλήρη, φαρμακωμένα.
συκοφαντεῖται δὲ αὐτὸς ὑπὸ τῶν μεγιστάνων
ὡς δημηγέρτης καὶ δεινὸς ἀντάρτης βασιλέως·
οὐκ εἶχαν μάτια νὰ θωροῦν τὴν παῤῥησίαν τούτου.
καὶ τότες οὖν οἱ ἄρχοντες οἱ καταμυτωτάδες
προσέρχονται τῷ βασιλεῖ καὶ ταῦτα καταγγέλλουν,
'Ασάνης τε καὶ Λάσκαρις καὶ Καντακουζηνός τε,
Δούκας, 'Αστρᾶς καὶ ὁ Κανᾶς καὶ ὁ Διπλοβατάτζης,
Παλαιολόγος Πρίγκηπας, Φραντζῆς ὁ Λεοντάρις,
'Ράλλης Παλαιολόγος τε ἅμα καὶ Πριμμηκύρις,

418 τρισχίλια proecdosis perverse contra libri auctoritatem 432 εὑρεθοῦν 436 κατ' ἀβελλισαρίου 437 κεῖν' οἱ scripsi: κεῖνοι cod. 437. 438. 439 Duc. p. 1754 439 σπέρνουν cod., παίρνουν proecdosis perverse πλήρης 443. 444 'καὶ τότες οὖν οἱ ἄρχοντες, οἱ καταμιτοτάδες, Προσέρχονται τῷ βασιλεῖ.' Duc. p. 610 445 κατακουζηνός 447 φραζζῆς

